### XLIV [159B., 113D.]

*†Ἑρμῆν τόνδ' ἀνέθηκεν Δημήτριος ὄρθια δ' οὐκ ἐν*
*προθύροις Δήμητρος ο̣..[.]..κ̣. ιμαθ̣.[†*

## XLV–LVIII *ἀναχρονιζόμενα* Simonidi adscripta

### XLV [142B., 103D.]

*ἐξ οὗ τ' Εὐρώπην Ἀσίας δίχα πόντος ἔνειμεν*
*καὶ πόλιας θνητῶν θοῦρος Ἄρης ἐπέχει,*
*οὐδέν πω τοιοῦτον ἐπιχθονίων γένετ' ἀνδρῶν*
*ἔργον ἐν ἠπείρῳ καὶ κατὰ πόντον ἅμα·*
*οἵδε γὰρ ἐν Κύπρῳ Μήδους πολλοὺς ὀλέσαντες*
*Φοινίκων ἑκατὸν ναῦς ἕλον ἐν πελάγει*
*ἀνδρῶν πληθούσας· μέγα δ' ἔστενεν Ἀσὶς ὑπ' αὐτῶν*
*πληγεῖσ' ἀμφοτέραις χερσὶ κράτει πολέμου.*